*ΗΛ.* ἐξέθυσ᾽ ὁ Φοῖβος ἡμᾶς
μέλεον ἀπόφονον αἷμα δοὺς
πατροφόνου ματρός.
*ΧΟ.* δίκᾳ μέν. *ΗΛ.* καλῶς δ᾽ οὔ.
ἔκανες ἔθανες, ὦ
τεκομένα με μᾶτερ, ἀπὸ δ᾽ ὤλεσας
πατέρα τέκνα τε τάδε σέθεν ἀφ᾽ αἵματος·
ὀλόμεθ᾽ ἰσονέκυες, ὀλόμεθα.
σύ τε γὰρ ἐν νεκροῖς, τό τ᾽ ἐμὸν οἴχεται
βίου τὸ πλέον μέρος ἐν στοναχαῖσί τε καὶ γόοισι
δάκρυσί τ᾽ ἐννυχίοις·
ἄγαμος, ἔπιδ᾽, ἄτεκνος ἅτε βίοτον ἁ
μέλεος εἰς τὸν αἰὲν ἕλκω χρόνον.
*ΧΟ.* ὅρα παροῦσα, παρθέν᾽ Ἠλέκτρα, πέλας,
μὴ κατθανών σε σύγγονος λέληθ᾽ ὅδε·
οὐ γάρ μ᾽ ἀρέσκει τῷ λίαν παρειμένῳ.
*ΟΡ.* ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί γε.
ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.
πόθεν ποτ᾽ ἦλθον δεῦρο; πῶς δ᾽ ἀφικόμην;
ἀμνημονῶ γάρ, τῶν πρὶν ἀπολειφθεὶς φρενῶν.
*ΗΛ.* ὦ φίλταθ᾽, ὥς μ᾽ ηὔφρανας εἰς ὕπνον πεσών.
βούλει θίγω σου κἀνακουφίσω δέμας;
*ΟΡ.* λαβοῦ λαβοῦ δῆτ᾽, ἐκ δ᾽ ὄμορξον ἀθλίου
στόματος ἀφρώδη πέλανον ὀμμάτων τ᾽ ἐμῶν.
*ΗΛ.* ἰδού· τὸ δούλευμ᾽ ἡδύ, κοὐκ ἀναίνομαι
ἀδέλφ᾽ ἀδελφῇ χειρὶ θεραπεύειν μέλη.
*ΟΡ.* ὑπόβαλε πλευροῖς πλευρά, καὐχμώδη κόμην
ἄφελε προσώπου· λεπτὰ γὰρ λεύσσω κόραις.
*ΗΛ.* ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα,
ὡς ἠγρίωσαι διὰ μακρᾶς ἀλουσίας.
*ΟΡ.* κλῖνόν μ᾽ ἐς εὐνὴν αὖθις· ὅταν ἀνῇ νόσος

---

194. *δίκᾳ*] Triclinius, *δίκαια* libri. 199. *τε* om. *C* 204. *στοναχαῖς C* 212. *τε* B cum Stobaeo. 215. *δ᾽* om. *C* 221. *βούλευμ᾽ C* 224. *κόραις γρ. νόσῳ* A *κόραις* ceteri. schol.: *γράφεται καὶ λεπτὰ γὰρ λεύσσω νόσῳ.* 227. *ὅταν*] Heathius, *ὅταν μ᾽* libri.